ζειν τῆς ψυχῆς ἴδια πάθη καὶ ἴδια τοῦ σώματος, ἐν κοινῷ καὶ πλάτος οὐκ ἔχοντι φερόμενοι τόπῳ συνεχύθησαν.

**6.** Ὅ γέ τοι Ποσειδώνιος τὰ μὲν εἶναι ψυχικά, τὰ δὲ σωματικά, καὶ τὰ μὲν οὐ ψυχῆς, περὶ ψυχὴν δὲ ⟨σωματικά, τὰ δ' οὐ σώματος, περὶ σῶμα δὲ ψυχικά φησι, ψυχικὰ μὲν⟩ ἁπλῶς τὰ ἐν κρίσεσι καὶ ὑπολήψεσιν οἷον ἐπιθυμίας λέγων, φόβους, ὀργάς, σωματικὰ δ' ἁπλῶς πυρετούς, περιψύξεις, πυκνώσεις, ἀραιώσεις, περὶ ψυχὴν δὲ σωματικὰ ληθάργους, μελαγχολίας, δηγμούς, φαντασίας, διαχύσεις, ἀνάπαλιν δὲ περὶ σῶμα ψυχικὰ τρόμους καὶ ὠχριάσεις καὶ μεταβολὰς τοῦ εἴδους κατὰ φόβον ἢ λύπην.

Διόδοτος πάλιν ἴδια μέν τινα τοῦ λογικοῦ φησι τῆς ψυχῆς πάθη, ἴδια δὲ τοῦ συμφυοῦς καὶ ἀλόγου εἶναι, ῥιπταζόμενος ἐπὶ πάντα καὶ ψηλαφῶντι προσεοικὼς τὰς διαφοράς. ὅπου γὰρ ἐπὶ τῶν ἀγγείων ἔργον ἐστὶ διακρῖναι, πότε τῇ περὶ αὐτὰ κακίᾳ τὸ ἐγκεχυμένον διέφθαρκε, καὶ πάλιν πότε τῶν ὑγρῶν νοσησάν⟨των⟩ διαβέβρωται [κέκρυπται], ἧπού γε τῆς ψυχῆς ἀναμεμιγμένης εἰς τὸ σῶμα καὶ κατὰ σύγκρασιν ἑνωτικὴν συμπεφυκυίας εὔπορόν ἐστιν ἐκκαθᾶραι τὴν διαφοράν; ὅρους ψυχῆς καὶ σώματος ἐπιζητεῖς, οὓς ἡ φύσις ἀνεῖλεν, ἐκ δυοῖν μίαν γενέσθαι σοφιζομένη, καὶ τῷ λόγῳ παρενδῦναι γλιχόμενος διαστέλλεις κοινωνίαν οὐδενὶ λυτὴν οὐδὲ χωριστὴν ἢ μόνῳ θανάτῳ. ἐκεῖνος δὲ τὰ πρὸς ἄλληλα ⟨συγκραθέντα δια⟩-